κιχάνω.

§. ψκή. Ἔτι τὸ προσιθέμενον α Ἰωνικῶς τοῖς τρίτοις, βραχύ. τετύφαται, ἐτετύφατο. τιθέασι

§. ψκθ΄. Καθόλου δὲ τὰ εἰς ασι τρίτα πρόσωπα, εἴτε Ἐνεστῶτος, εἴτε Παρακειμένου, μακροπαραληκτεῖ. ἱστᾶσι, φασὶ, τετύφασι, πεποιήκασι, Πλὴν τῶν Ἰωνικῶν τιθέασι, διδόασι, ζευγνύασι.

§. ψλ΄. Ἔτι τὰ εἰς ινω, μακροπαραληκτεῖ. πίνω, κρίνω.

§. ψλά. Τὰ δὲ εἰς ω καθαρὸν βαρύτονα, ὑπερδισύλλαβα, τῷ ι παραλήγοντα, βραχυπαραληκτεῖ. κυλίω, κονίω, μηνίω. πλὴν τοῦ ἐσθίω.

§. ψλβ΄. Ἔτι τὰ εἰς ιω περισπώμενα, ἰῶμαι, ἐσιῶ. ἐρυθριῶ, ἀνιῶ, βραχυπαραληκτεῖ.

§. ψλγ΄. Ἔτι τὰ εις ω καθαρὸν περισπώμενα, τῷ ο παραλήγοντα. βοῶ. ἐὰν μὴ ἀπὸ Ὀνόματος γένηται. ζωῶ γὰρ, καὶ ἀθωῶ, τῷ μακρῷ, ὡς ἀπὸ Ὀνομάτων τοῦ ζωὴ, καὶ θωή.

§. ψλδ΄. Ἔτι τὰ εἰς υνω ὑπερδισύλλαβα, βαρύτονα, μακρᾷ παραλήγει. ὀτρύνω, πραΰνω, μολύνω. καὶ ὅλως τὰ εἰς ινω. πίνω, κρίνω.

§. ψλέ. Τὸ δὲ θύω, καὶ ῥύομαι, καὶ δακρύω. καὶ κωκύω, διφορεῖται τὸν χρόνον.

§. ψλς΄. Καθόλου δ᾽ ειπεῖν, τὰ τῆς πρώτης, καὶ δευτέρας, καὶ τρίτης, καὶ τετάρτης Συζυγίας τῶν βαρυτόνων, διχρόνῳ παραλήγοντα Ῥήματα, βραχυπαραληκτεῖ. Πλὴν τοῦ πράττω. τὰ δὲ τῆς πέμπτης, μακροπα-